ἀπ' Ἐπιστήμης, ἥτις γνῶσις εἶναι θέλει ἐναργής τε καὶ ἀδιάπταιστος, δεικνύντα γνώσεως ἀσαφῆς παρέσαι λαβεῖν, καὶ πλείστῳ τῷ ἀπὸ τῆς ἀπάτης θολερῷ κράματι μεμιγμένης.

## ΚΑΝΩΝ ΙΒ΄.

§. Ϡκδ΄. „Τελευταῖον δὲ καὶ τοῖς παιδευομένοις ἡ τῆς δι„δασκαλίας μέθοδος, τόγε παρ' ἑαυτῶν εἰσφέρειν ἐντέλλεται, „Νοῦν ἡσύχιόν τε καὶ εἰρηναῖον, τρόπον πειθήνιον καὶ εὐά„γωγον, προσοχὴν ἀτενῆ καὶ ἀπερίσπαστον, μελέτην πυκνὴν „καὶ σπουδαίαν, καὶ ταύτην ἐμμελῶς τε καὶ εὐμεθόδως συ„νισταμένην, πεῦσιν αἰδήμονα καὶ ἀνύπουλον, ἀπάντησιν ἀφι„λότιμον καὶ ἀκόμπαστον. Καὶ ὅλως ψυχῆς ἐπιεικῶς φιλο„σόφου παρασκευὴν, καὶ διάθεσιν τὴν προσήκουσαν (1). Ἐκ „γὰρ τούτων ἁπάντων, ἐκ πολλῶν οἷον ἀριθμὸν εἰς ἕνα καιρὸν ἡκόντων, ὡς ἐν συμφωνίᾳ τινὶ καὶ ἁρμονίᾳ ἡ κατὰ τὴν Ἕξιν τελειότης κατὰ βραχὺ περιγίνεται, καὶ ἡ ἐπὶ τὴν ζητουμένην τέως ἐπιστήμην ἀνάβασις ΘΕΟΥ συναιρομένου προάγεται καὶ συντελεῖται.

(1) Μέτιθι Προδιατριβ. Β΄. τὰ ἀπὸ §. κβ΄. ἄχρι τέλους.

ΚΕΦ.



# ΚΕΦ. ΠΕΜΠΤΟΝ.

## Περὶ Μεθόδου τῆς κατ' Ἀντίθεσιν

Ἤτοι

## Προσδιαλεκτικῆς.

§. Ϡκε΄.

Τὴν ἐν ταῖς συνισταμέναις Διαλέξεσιν ἐμπειρίαν, καθ' ἣν τοῖς εἰς τόδε ὑποτεθεῖσι χρώμενοι κανόσι καὶ τρόποις, ἤτοι δόγματος ἐπιχειροῦμεν ἀλλοτρίου καὶ ἀτόπου δοκοῦντος τῇ ἀναιρέσει, ἢ τοῦ οἰκείου καὶ ὡς ἀληθοῦς ἡμῖν πρεσβευομένου προϊστάμενοι, τὰ παρὰ τῶν ἀντιδοξούντων, καθιέμενα τῶν ἐπιχειρημάτων τοξεύματα διακρούεσθαι, καὶ τούτων τὴν ὁρμὴν εὐστόχοις ἀπαντήσεσιν ὑπεκλύειν τε καὶ θραύειν ἀγωνιζόμεθα, ταύτην μέθοδον Ἀντιθέσεως, καὶ Προσδιαλεκτικὴν καλεῖν ἀξιοῦμεν. Τὸ μὲν δηλονότι διὰ τὴν ἐν λόγοις διαμάχην, τὸ δὲ διὰ τὴν ἐν ταῖς καθισταμέναις ζητηματικαῖς συνουσίαις τε καὶ ἐντεύξεσι χρῆσιν, ἃς Διαλέξεις κοινῇ προσειρήκασι.

§. Ϡκϛ΄. Δυσὶ δὲ τρόποις τοὺς διαφερομένους ἐντυγχάνειν ἀλλήλοις σύνηθες. Ἢ γὰρ κατὰ πεῦσιν καὶ ἀπάντησιν, τοῦ μὲν τὰ πύσματα προτείνοντος, τοῦ δ' ἀποκρινομένου πρὸς αὐτὰ, οἵα δὴ Σωκράτης καὶ Πλάτων τὰς πρὸς τοὺς ἐντυγχάνοντας ποιεῖσθαι συνουσίας εἰώθεσαν· ἢ ἐν εἴδει Συλλογισμῶν τε καὶ Ἐνθυμημάτων, τοῦ μὲν ἐνισταμένου τῇ δόξῃ περὶ ἧς ὁ λόγος, τοῦ δὲ τὰς ἐπαγομένας ἐνστάσεις, ὡς οἷόν τε ἐπιλύοντος, ὃ δὴ τοῖς ἐκ τῆς Στοᾶς, καὶ τοῖς ἐκ τοῦ Περιπάτου μάλιστα ἠκρίβωτο, διαφερόντως δ' ἔπειτα, κακοζήλως μέντοι, τοῖς Σχολαστικοῖς ὕστερον ἄχρι καὶ διαπληκτισμῶν πεφιλοτίμητο. Τούτων δὴ τὴν μὲν Ἐρωτηματικὴν ἄν τις, ἢ πευστικὴν ὀνομάσειε, τὴν δὲ Συλλογιστικὴν ἢ ἐπιχειρηματικὴν, ἀπὸ τῶν προτεινόντων, ὡς παραιτίων ἐν τῇ συζητήσει, καὶ προτέρων προσάψας τοὔνομα. Ἐξ ἀμφοῖν δὲ τῶν συζητούντων ἡ μὲν Διαλόγου μέθοδος, ἡ δὲ Διαλέξεως προσφυῶς οἶμαι εἰρήσεται.

§. Ϡκζ΄. Δύω δὲ τοὺς ὁμόσε χωροῦντας ἐπὶ παντὸς Διαλόγου, ἢ Διαλέξεως εἶναι εἰκός. Ἐπὶ παντὸς γὰρ τοῦ προκειμένου, ἤτοι

φάναι